# ΕΠΙΣΤΟΛΗ ΠΡΟΣΦΩΝΗΤΙΚΗ.

---

## ΦΙΛΙΠΠΟΣ ΙΩΑΝΝΟΥ

*Τῷ ἀδελφῷ Δημητρίῳ Ἰωάννου, τῷ ἐπικαλουμένῳ Γυαλᾶ,*

ΕΥ ΠΡΑΤΤΕΙΝ.

ΟΥΔΕΝ τῶν ζώων οὕτω τῆς παρὰ τῶν ὁμογενῶν ἀρωγῆς ἐπιδεὲς πέφυκεν ἐν τῷ βίῳ ὥσπερ ὁ ἄνθρωπος, ὃν πλεῖστα ἐκ βρέφους ὑπὸ τῶν ἄλλων εὖ ποιεῖσθαι καὶ ἡδέος τινὸς παρ᾽ αὐτῶν ἀπολαύειν ἀνάγκη. Τοῦτο δὲ μέγα μέντι αὐτῷ πρὸς διάπλασιν ἤθους καὶ χρηστότητα τρόπων συμβάλλεται, οὐχ ἔλαττον δὲ πρὸς πνευματικὴν ἡδονήν, ὡς ἀπὸ πηγῆς τινος ἀενάου τῆς τοῦ καθήκοντος ἐκτελέσεως ἀποῤῥέουσαν. Τὸ μὲν γὰρ εὖ πεπονθέναι ἢ ἁμωσγέπως ἀγαθοῦ τινος ἀπολελαυκέναι παρὰ τῶν ἄλλων ἡμέρως ἡμῶν τὴν ψυχὴν καὶ φιλοφρόνως πρός τε τοὺς εὖ ποιήσαντας καὶ πρὸς τοὺς ἄλλους διατίθησι καὶ πρὸς φιλανθρωπίαν ἑτοιμοτέραν παρασκευάζει. Τὸ δ᾽ αὖ ἀντευποιεῖν ἢ γοῦν εὐγνωμονεῖν τοῖς εὖ δράσασι καὶ φιλανθρώπως τοῖς ἄλλοις χρῆσθαι τιμιωτέρους ἡμᾶς ἐκείνοις τε καὶ ἡμῖν αὐτοῖς ἀποδείκνυσι καὶ διὰ τοῦτο ἄῤῥητόν τινα ἡμῖν ἡδονὴν ἐμποιεῖ. Τοιγαροῦν ἔχαιρον ἀεὶ πατρίδος τε καὶ γονέων καὶ οἰκείων καὶ διδασκάλων καὶ πάντων, παρ᾽ ὧν ἀγαθοῦ τινος ἀπήλαυσα, μεμνημένος καὶ τὰ ἀναφοράν τινα πρὸς ἐκείνους ἔχοντα μελέτην